*ἐμοὶ δὲ δώσειν φησὶ πῦρ κεραύνιον,*
*βάλλειν Ἀχαιοὺς ναῦς τε πιμπράναι πυρί.*
*σὺ δ' αὖ τὸ σὸν παράσχες Αἴγαιον πόρον*
*τρικυμίαις βρέμοντα καὶ δίναις ἁλός,*
*πλῆσον δὲ νεκρῶν κοῖλον Εὐβοίας μυχόν,*
*ὡς ἂν τὸ λοιπὸν τἄμ' ἀνάκτορ' εὖ σέβειν*
*εἰδῶσ' Ἀχαιοὶ θεούς τε τοὺς ἄλλους σέβειν.*
*ΠΟ.* *ἔσται τάδ'· ἡ χάρις γὰρ οὐ μακρῶν λόγων*
*δεῖται· ταράξω πέλαγος Αἰγαίας ἁλός.*
*ἀκταὶ δὲ Μυκόνου Δήλιοί τε χοιράδες*
*Σκῦρός τε Λῆμνός θ' αἱ Καφήρειοί τ' ἄκραι*
*πολλῶν θανόντων σώμαθ' ἕξουσιν νεκρῶν.*
*ἀλλ' ἕρπ' Ὄλυμπον καὶ κεραυνίους βολὰς*
*λαβοῦσα πατρὸς ἐκ χερῶν καραδόκει,*
*ὅταν στράτευμ' Ἀργεῖον ἐξιῇ κάλως.*
*μῶρος δὲ θνητῶν ὅστις ἐκπορθεῖ πόλεις,*
*ναούς τε τύμβους θ', ἱερὰ τῶν κεκμηκότων,*
*ἐρημίᾳ δοὺς αὐτὸς ὤλεθ' ὕστερον.*

ΕΚΑΒΗ.

*ἄνα, δύσδαιμον, πεδόθεν κεφαλήν,*
*ἐπάειρε δέρην· οὐκέτι Τροία*
*τάδε καὶ βασιλῆς ἐσμεν Τροίας.*
*μεταβαλλομένου δαίμονος ἀνέχου.*
*πλεῖ κατὰ πορθμόν, πλεῖ κατὰ δαίμονα,*
*μηδὲ προσίστω πρῷραν βιότου*
*πρὸς κῦμα πλέουσα τύχαισιν.*
*αἰαῖ αἰαῖ.*

---

80 *φησὶ πῦρ κεραύνιον*] *πῦρ κεραύνιον λέγει* schol. Lycophr. 382 81 *πυρί*] *φλογί* Burges 82 *πάρασχε* *O* | *δίναις ἁλός*] *δεινῷ σάλῳ* E. B. England 85 *εὐσεβεῖν* libri 86 *θεῶν τε τῶν ἄλλων σέβη* Camper (malim *ἕδη*) 89 *μυκίνου* *O* | fort. *Δήλιαι* 91 *ἕξουσι* *OP* 94 *Ἀργεῖον*] Canter, *ἀργείων* *OP* | *κάλος* corr. in *κάλως* *P* 95 *ἐκπέρσας* Reiske 97 *αὐτὸς ἀνταπώλετο* Nauck, cfr. Hel. 106 98 *χορ.* praefixit *P* | *δυσδαῖμον* *O* | *πεδόθεν*, *αι* super prius *ε* scr., *N* | *κεφαλά* *BN*, cfr. schol. *ὦ ἐκ θεῶν δυσδαίμων κεφαλὴ γεγονυῖα*, unde variam sed vitiosam lectionem *θεόθεν κεφαλή* monente Bartholdo elicuit E. Schwartz 99 *δέρην τ'* Musgrave 100 *κοὐ* Bothe | *βασιλεῖς* libri 101 *ἀνσχοῦ* Nauck 102 *δαίμονα*] *πνεύματι* F. Gu. Schmidt 103 *προσίστη* *P* 105 *ΕΚ.* praefixit *P*